A κακῶς πρότερον πεπονθότες, ἢ νῦν πάσχοντες, ἢ πεισόμενοι, ἐὰν μὴ βοηθῶσι ἡμῖν οὗτοι· ἐὰν δὲ μὴ τοιαῦτα ὑπάρχῃ, διεξιόντες, τίνων ἀγαθῶν ἐστερήμεθα, ἢ στερισκόμεθα, ἢ στερησόμεθα, ὀλιγωρηθέντες ὑπὸ τῶν κρινόντων, ἢ ὡς ἀγαθοῦ μηδέποτε ἐτύχομεν, ἢ μὴ ἐπιτυγχάνομεν, ἢ μὴ ἐπιτευξόμεθα, μὴ τούτων ἡμῖν συμβοηθησάντων. ἐκ γὰρ τούτων ἐλεεινοὺς καταστήσομεν ἡμᾶς αὐτοὺς, καὶ πρὸς
B τοὺς ἀκούοντας εὖ διαθήσομεν. διαβαλοῦμεν δὲ τοὺς ἀντιδίκους καὶ φθονεῖσθαι ποιήσομεν, ἐκ τῶν ἐναντίων τούτοις ἀποφαίνοντες ὑπὸ τούτων, ἢ τῶν τούτοις φίλων τοὺς ἀκούοντας ἢ ὧν αὐτοὶ κήδονται, κακῶς πεπονθότας, ἢ πάσχοντας, ἢ πεισομένους παρὰ τὸ προσῆκον. ἐκ γὰρ τῶν τοιούτων, καὶ μῖσος καὶ ὀργὴν πρὸς αὐτοὺς ἕξουσιν. ἂν δὲ μὴ ταῦτα ἐνδέχηται, συνάξομεν ἐξ ὧν φθόνον τοῖς ἀκού-
C ουσι κατὰ τῶν ἐναντίων ἐργασόμεθα. τὸ γὰρ φθονεῖν πλησίον τοῦ μισεῖν ἐστι. φθονήσονται δὲ συλλήβδην, ἐὰν ἀναξίους αὐτοὺς εὖ πράττοντας ἀποφαίνωμεν, καὶ πρὸς τοὺς ἀκούοντας ἀλλοτρίως ἔχοντας, διεξιόντες ὡς ἀγαθὰ πολλὰ πεπόνθασιν ἀδίκως, ἢ πάσχουσιν, ἢ μέλλουσι πείσεσθαι, ἢ ἀγαθοῦ οὐδέπω πρότερον ἐστερήθησαν, ἢ νῦν οὐ στερί-
D σκονται, ἢ οὐ στερήσονται, ἢ κακοῦ οὐδέπω τετυχηκότες, ἢ νῦν οὐ τυγχάνοντες, ἢ οὐ τευξόμενοι, ἐὰν μὴ νῦν αὐτοὺς οἱ κριταὶ κολάσωσιν. ἐκ τούτων μὲν οὖν ἐν τοῖς ἐπιλόγοις εὐμενῶς μὲν αὐτοὺς, κακῶς δὲ τοὺς ἐναντίοις διαθήσομεν· ἐκ δὲ τῶν προειρημένων ἁπάντων ἐντέχνως καὶ τὰς κατηγορίας καὶ τὰς ἀπολογίας τάξομεν. Κεφάλαιον λη.

E ΤΟ δ' ἐξεταστικὸν εἶδος, αὐτὸ μὲν καθ' ἑαυτὸ οὐ πολλάκις συνίσταται, τοῖς δὲ ἄλλοις εἴδεσι μίγνυται, καὶ μάλιστα πρὸς τὰς ἀντιλογίας χρήσιμόν ἐστιν. οὐ μὴν ἀλλ' ὅπως μηδὲ τούτου τὴν τάξιν ἀγνοῶμεν, ἄν ποθ' ἡμῖν λόγον, ἢ βίον, ἢ πρᾶξιν ἀνθρώπων ἢ διοίκησιν πόλεως ἐξετάζειν συμβῇ, διέξειμι καὶ περὶ τούτου κεφαλαιωδῶς. προοιμιαστέον μὲν οὖν σχεδὸν ὁμοιοτρό-
F πως τοῖς διαβεβλημένοις καὶ τοῖς ἐξετάζουσι ταῦτα. ὥστε προφάσεις ἐν ἀρχαῖς εὐλόγους ἐνεγκόντες, δι' ἃς δόξομεν εἰκότως τοῦτο ποιεῖν, οὕτως ἐπὶ τὴν ἐξέτασιν ἥξομεν. ἁρμόσουσι δὲ αἱ τοιαίδε, ἐν μὲν τοῖς πολιτικοῖς συλλόγοις ὡς οὐ φιλονεικίᾳ τὸ τοιοῦτον

quæ malè passi fuerimus, aut patimur, passurive sumus, miseria premimur, nisi hi nobis adiumento fuerint. Si verò nihil nobis absit huiusmodi, commemorabimus quibus bonis priuati fuerimus, aut priuamur, aut priuabimur, vbi iudices nos neglexerint, seu vt nunquam boni quippiam nacti fuerimus, aut nanciscimur, aut nacturi sumus, nisi ab iis auxilium meruerimus. Ex his nanque commiseratione nos dignos constituemus, & auditores nobis conciliabimus. Aduersarios verò calumniis circumuentos in inuidiam, & odium apud auditores ex horum contrariis adducemus, cùm ostenderimus ab iis, aut horum amicis auditores ipsos, ipsorúmve necessarios mali quippiam indignè passos, aut pati, aut passuros. Ex huiusmodi enim rebus ad odium, & iram in aduersarios rapientur. Sin autem hæc fieri commodè nequiuerint, ea in vnum redigemus, quibus auditores in aduersarios ad inuidiam concitemus. Inuidia nanque propinqua est odio. His autem summatim inuidebitur, si eos indignè fortunatos, & ab auditoribus animo alienos ostenderimus, percurrentes quàm multa bona iniustè passi fuerint, aut patiuntur, passurive sunt: aut quàm nunquam nullius boni indiguerint, vel indigent, vel indigebunt: aut quàm in nihil vnquam mali inciderint, seu incidunt, seu incident, nisi nunc à iudicibus puniantur. Ex his igitur rebus auditorum nobis animos ad beneuolentiam in conclusionibus constituere, & in aduersarios contrà commouere poterimus. Ex omnibus verò suprà dictis accusationes, defensionésque quàm aptissimè ordinabimus.

## CAPVT XXXVIII.

QVærendi autem species separatim quidem ipsa raro constituitur, sed aliis speciebus commiscetur, & aduersus contradictiones maximè est vtilis. Veruntamen ne huius nos ordo lateat, si quando vel oratio, vel vita hominũ, aut actio, aut ciuitatis administratio quærenda contingeret, idem etiam hac de parte summatim percurram. Est igitur quærentibus eodem quasi modo exordiẽdum, sicuti etiam calumnia circumuentos oportere docuimus. Quare cùm idoneas in principiis causas attulerimus, quibus id rectè facere videamur, ita ad quærendum veniemus. Causæ autem congruent in ciuilibus quidem conuentibus, quòd haud cõtẽtione